καὶ πᾶν ξύλον ξηρόν, οὐ σβεσθήσεται ἡ φλὸξ ἡ ἐξαφθεῖσα, καὶ
κατακαυθήσεται ἐν αὐτῇ πᾶν πρόσωπον ἀπὸ ἀπηλιώτου ἕως βορρᾶ·
4 καὶ ἐπιγνώσονται πᾶσα σὰρξ ὅτι ἐγὼ κύριος ἐξέκαυσα αὐτό, καὶ 4
οὐ σβεσθήσεται. 5 καὶ εἶπα Μηδαμῶς, κύριε κύριε· αὐτοὶ λέγουσιν 5
πρός με Οὐχὶ παραβολή ἐστιν λεγομένη αὕτη; 6 καὶ ἐγένετο λόγος 6
κυρίου πρός με λέγων 7 Διὰ τοῦτο προφήτευσον, υἱὲ ἀνθρώπου, 7
καὶ στήρισον τὸ πρόσωπόν σου ἐπὶ Ιερουσαλημ καὶ ἐπίβλεψον ἐπὶ
τὰ ἅγια αὐτῶν καὶ προφητεύσεις ἐπὶ τὴν γῆν τοῦ Ισραηλ 8 καὶ 8
ἐρεῖς πρὸς τὴν γῆν τοῦ Ισραηλ Ἰδοὺ ἐγὼ πρὸς σὲ καὶ ἐκσπάσω
τὸ ἐγχειρίδιόν μου ἐκ τοῦ κολεοῦ αὐτοῦ καὶ ἐξολεθρεύσω ἐκ σοῦ
ἄδικον καὶ ἄνομον· 9 ἀνθ᾽ ὧν ἐξολεθρεύσω ἐκ σοῦ ἄδικον καὶ ἄνο- 9
μον, οὕτως ἐξελεύσεται τὸ ἐγχειρίδιόν μου ἐκ τοῦ κολεοῦ αὐτοῦ
ἐπὶ πᾶσαν σάρκα ἀπὸ ἀπηλιώτου ἕως βορρᾶ· 10 καὶ ἐπιγνώσεται 10
πᾶσα σὰρξ διότι ἐγὼ κύριος ἐξέσπασα τὸ ἐγχειρίδιόν μου ἐκ τοῦ
κολεοῦ αὐτοῦ, καὶ οὐκ ἀποστρέψει οὐκέτι. 11 καὶ σύ, υἱὲ ἀνθρώπου, 11
καταστέναξον ἐν συντριβῇ ὀσφύος σου καὶ ἐν ὀδύναις στενάξεις
κατ᾽ ὀφθαλμοὺς αὐτῶν. 12 καὶ ἔσται ἐὰν εἴπωσιν πρὸς σέ Ἕνεκα 12
τίνος σὺ στενάζεις; καὶ ἐρεῖς Ἐπὶ τῇ ἀγγελίᾳ, διότι ἔρχεται, καὶ
θραυσθήσεται πᾶσα καρδία, καὶ πᾶσαι χεῖρες παραλυθήσονται, καὶ
ἐκψύξει πᾶσα σὰρξ καὶ πᾶν πνεῦμα, καὶ πάντες μηροὶ μολυνθή-
σονται ὑγρασίᾳ· ἰδοὺ ἔρχεται καὶ ἔσται, λέγει κύριος κύριος. —
13 καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων 14 Υἱὲ ἀνθρώπου, προ- 13 14
φήτευσον καὶ ἐρεῖς Τάδε λέγει κύριος Εἰπόν Ῥομφαία ῥομφαία,
ὀξύνου καὶ θυμώθητι, 15 ὅπως σφάξῃς σφάγια, ὀξύνου ὅπως γένῃ 15
εἰς στίλβωσιν, ἑτοίμη εἰς παράλυσιν σφάζε, ἐξουδένει ἀπωθοῦ πᾶν
ξύλον. 16 καὶ ἔδωκεν αὐτὴν ἑτοίμην τοῦ κρατεῖν χεῖρα αὐτοῦ· ἐξ- 16
ηκονήθη ῥομφαία, ἔστιν ἑτοίμη τοῦ δοῦναι αὐτὴν εἰς χεῖρα ἀποκεν-
τοῦντος. 17 ἀνάκραγε καὶ ὀλόλυξον, υἱὲ ἀνθρώπου, ὅτι αὐτὴ ἐγένετο 17
ἐν τῷ λαῷ μου, αὐτὴ ἐν πᾶσιν τοῖς ἀφηγουμένοις τοῦ Ισραηλ·
παροικήσουσιν ἐπὶ ῥομφαίᾳ, ἐγένετο ἐν τῷ λαῷ μου· διὰ τοῦτο
κρότησον ἐπὶ τὴν χεῖρά σου. 18 ὅτι δεδικαίωται· καὶ τί, εἰ καὶ φυλὴ 18
ἀπώσθῃ; οὐκ ἔσται, λέγει κύριος κύριος. 19 καὶ σύ, υἱὲ ἀνθρώπου, 19
προφήτευσον καὶ κρότησον χεῖρα ἐπὶ χεῖρα καὶ διπλασίασον ῥομ-
φαίαν· ἡ τρίτη ῥομφαία τραυματιῶν ἐστιν ῥομφαία τραυματιῶν ἡ

4 επιγνωσεται A | και ult. > B = 𝔐: cf. 10 | fin.] + ετι A || 7 δια τουτο προφ./υιε ανθρ.] tr. A | και $1^0$ > B = 𝔐 || 8 ισραηλ B*†] + ταδε λεγει κυριος κυριος uel ταδε λεγει κυριος ο θεος uel sim. rel. (in *O* sub ※) || 9 init. — ανομον > A || 10 διοτι] οτι A | και ult. > B = 𝔐: cf. 4 || 12 διοτι] οτι A† | και εσται ult. > B† | κυριος κυριος(> $B^c$)] κυριος ο θεος A: cf. 14 6 || 14 κυριος BA*pau.] pr. αδωναι rel.: cf. 5 5 || 16 εξηκονηθη] + η B† | δουναι] δοθηναι A | χειρα ult. -ρας A || 17 επι $1^0$] επει $B^c$ || 18 τι(A ετι) ει και > B† || 19 χειρα $1^0$] τη χειρι A